RegionsEgypt, Nubia and CyrenaïcaEgypt and Nubia

OGIS 90,A OGIS 89 OGIS 90,B

[ ]Eg. — Bolbitine (Raschīd--Rosetta) — 196 BC — Prose 16; SB 5.8299



1 βασιλεύοντος τοῦ νέου καὶ παραλαβόντος τὴν βασιλείαν παρὰ τοῦ πατρὸς κυρίου βασιλειῶν μεγαλοδόξου, τοῦ τὴν Αἴγυπτον καταστησαμένου καὶ τὰ πρὸς τοὺς θεοὺς εὐσεβοῦς, ἀντιπάλων ὑπερτέρου, τοῦ τὸν βίον τῶν ἀνθρώπων ἐπανορθώσαντος, κυρίου τριακοντα ετηρίδων, καθάπερ ὁ Ἥφαιστος ὁ μέγας, βασιλέως καθάπερ ὁ Ἥλιος, μέγας βασιλεὺς τῶν τε ἄνω καὶ τῶν κάτω χωρῶν, ἐκγόνου θεῶν Φιλοπατόρων, ὃν ὁ Ἥφαιστος ἐδοκίμασεν, ᾧι ὁ Ἥλιος ἔδωκεν τὴν νίκην, εἰκόνος ζώσης τοῦ Διός, υἱοῦ τοῦ Ἡλίου, Πτολεμαίου αἰωνοβίου, ἠγαπημένου ὑπὸ τοῦ Φθᾶ, ἔτους ἐνάτου ἐφ' ἱερέως Ἀέτου τοῦ Ἀέτου Ἀλεξάνδρου καὶ θεῶν Σωτήρων καὶ θεῶν Ἀδελφῶν καὶ θεῶν Εὐεργετῶν καὶ θεῶν Φιλοπατόρων καὶ 5 θεοῦ Ἐπιφανοῦς Εὐχαρίστου, ἀθλοφόρου Βερενίκης Εὐεργέτιδος Πύρρας τῆς Φιλίνου, κανηφόρου Ἀρσινόης Φιλαδέλφου Ἀρείας τῆς Διογένους, ἱερείας Ἀρσινόης Φιλοπάτορος Εἰρήνης τῆς Πτολεμαίου, μηνὸς Ξανδικοῦ τετράδι, Αἰγυπτίων δὲ Μεχεὶρ ὀκτωκαιδεκάτηι, **ψήφισμα**·	**Decreet** van de jongen die koning is en die het koningschap heeft overgenomen van zijn vader, de roemrijke meester van de schatkamers, hij die Egypte in orde heeft gebracht, en eerbiedig t.o.v. de zaken m.b.t. de goden, edeler dan zijn vijanden, hij die het leven van de mensen heeft verbeterd, de heer van 30 Festivals (gw = ἐτηρίς = festival → bedoeld is Heb Sed), net zoals Path, koning net zoals Ra, de grote koning van Opper- en Neder-Egypte (lett "van de opper- en bovenlanden"), telg van z'n vader liefhebbende goden, die (= dat kind, de koning!) Ptah heeft geaccepteerd, aan wie Ra de overwinning heeft geschonken, levend beeld van Amon, zoon van Ra, Ptolemaios de eeuwiglevende, geliefd door Ptah, in het negende jaar ten tijde van priester van Alexander Aetos, de zoon van Aetos en *(ten tijde van → onder de regering van)* de Heilbrengende goden en de Weldoende goden en de Vaderliefhebbende goden en de Doorluchtige en Dankbare godheid, de Lansdragende van Berenikè de Weldoenster, (nl) Pyrra, dochter van Phylis, de Manddraagster van Arsinoë die haar broeder liefheeft, (nl) Areia, dochter van Diogenes, priesteres van Arsinoë die haar vader liefheeft, (nl) Eirene, dochter van Ptolemaios, dag 4 van de maand Xandikos, dag 19 van Mecheir volgens (lett "van") de Egyptenaren:
οἱ ἀρχιερεῖς καὶ προφῆται καὶ οἱ εἰς τὸ ἄδυτον εἰ<σ>πορευόμενοι πρὸς τὸν στολισμὸν τῶν	Nadat de hogepriesters, de profeten, zij die toegang hebben tot het Heilige der Heiligen voor (lett "n.a.v.") de bekleding van de goden, de Vleugeldragers, de priester-schrijvers en al de andere priesters vanuit de tempels, over het land verspreid, de koning in Memphis

θεῶν καὶ πτεροφόραι καὶ ἱερογραμματεῖς καὶ οἱ ἄλλοι ἱερεῖς πάντες οἱ ἀπαντήσαντες ἐκ τῶν κατὰ τὴν χώραν ἱερῶν εἰς Μέμφιν τῶι βασιλεῖ πρὸς τὴν πανήγυριν τῆς παραλήψεως τῆς βασιλείας τῆς Πτολεμαίου αἰωνοβίου, ἠγαπημένου ὑπὸ τοῦ Φθᾶ, θεοῦ Ἐπιφανοῦς, Εὐχαρίστου, ἣν παρέλαβεν παρὰ τοῦ πατρὸς αὐτοῦ, συναχθέντες ἐν τῶι ἐν Μέμφε<ι ἱ>ερῶι τῆι ἡμέραι ταύτηι εἶπαν· ἐπειδὴ βασιλεὺς Πτολεμαῖος αἰωνόβιος, ἠγαπημένος ὑπὸ τοῦ Φθᾶ, θεὸς Ἐπιφανὴς Εὐχάριστος, ὁ ἐγ βασιλέως Πτολεμαίου καὶ βασιλίσσης Ἀρσινόης, θεῶν Φιλοπατόρων, κατὰ πολλὰ εὐεργέτηκεν τά θ᾽ ἱερὰ καὶ 10 τοὺς ἐν αὐτοῖς ὄντας καὶ τοὺς ὑπὸ τὴν ἑαυτοῦ βασιλείαν τασσομένους ἅπαντας, ὑπάρχων θεὸς ἐκ θεοῦ καὶ θεᾶς καθάπερ Ὧρος ὁ τῆς Ἴσιος καὶ Ὀσίριος υἱός, ὁ ἐπαμύνας τῶι πατρὶ αὐτοῦ Ὀσίρει, τὰ πρὸς θεοὺς εὐεργετικῶς διακείμενος ἀνατέθεικεν εἰς τὰ ἱερὰ ἀργυρικάς τε καὶ σιτι<κ>ὰς προσόδους, καὶ δαπάνας πολλὰς ὑπομεμένηκεν ἕνεκα τοῦ τὴν Αἴγυπτον εἰς εὐδίαν ἀγαγεῖν καὶ τὰ ἱερὰ καταστήσασθαι ταῖς τε ἑαυτοῦ δυνάμεσιν πεφιλανθρώπηκε πάσαις καὶ ἀπὸ τῶν ὑπαρχουσῶν ἐν Αἰγύπτωι προσόδων καὶ φορολογιῶν τινὰς μὲν εἰς τέλος ἀφῆκεν, ἄλλας δὲ κεκούφικεν, ὅπως ὅ τε λαὸς καὶ οἱ ἄλλοι πάντες ἐν	hebben ontmoet voor het feest van de overname van het koningschap door (lett “van”) de Eeuwiglevende Ptolemaios, geliefd door Ptah, de doorluchtige en Dankbare godheid, dat (= het koningschap: βασιλείας is antecedent!) hij van z’n vader had overgenomen, en nadat zij in de tempel in Memphis waren samengebracht, zeiden ze op die dag het volgende: “Aangezien koning Ptolemaios de Eeuwiglevende, geliefd door Ptah, de Doorluchtige en Dankbare godheid, die de zoon is van (lett “geboren is uit”) koning Ptolemaios en koningin Arsinoë, de Goden die hun vader liefhadden, zowel *(voorzetsel κατὰ bij πολλὰ: distributieve betekenis)* voor de tempels als voor zij die daarin leven veel goeds heeft gedaan, alsook voor al zijn onderdanen (lett “degenen die behoren onder zijn koningschap”), als god geboren (lett “(voorhanden zijnd”) uit een god en een godin, zoals Horus de zoon van Isis en Osiris die z’n vader Osiris hielp (= wreekte!), en (aangezien) hij weldoende (lett “weldoende zijnde”) inkomsten van graan en zilver aan de tempels wijdde en hij (tot nu toe) veel kosten heeft verdragen (→ dus veel moeite heeft gedaan!) om Egypte tot rust te brengen (lett “omwille van het tot rust brengen van”) en de tempels te herstellen (lett “in orde te brengen”), en (aangezien) hij met geheel zijn eigen (financiële e.a.) macht zich vriendelijk heeft gedragen en hij sommige(n van de) taxen en belastingen volledig (lett “tot het einde toe”) heeft kwijtgescholden, en andere heeft verlicht op dat zijn volk en alle anderen onder zijn koningschap in bloei zouden leven, en (aangezien) hij de koninklijke schulden (= de schulden aan de Kroon/de Staat) die de

εὐθηνίαι ὦσιν ἐπὶ τῆς ἑαυτοῦ βασιλείας, τά τε βασιλικὰ ὀφειλήματα, ἃ προσώφειλον οἱ ἐν Αἰγύπτωι καὶ οἱ ἐν τῆι λοιπῆι βασιλείαι αὐτοῦ, ὄντα πολλὰ τῶι πλήθει, ἀφῆκεν, καὶ τοὺς ἐν ταῖς φυλακαῖς ἀπηγμένους καὶ τοὺς ἐν αἰτίαις ὄντας ἐκ πολλοῦ χρόνου ἀπέλυσε τῶν ἐνκεκλ<η>μένων·	inwoners van Egypte en degenen in de rest van zijn koninkrijk (hem) verschuldigd waren – die voor het volk talrijk waren – heeft kwijtgescholden, en (aangezien) hij de gevangenen (lett "zij die naar de gevangenis waren weggevoerd") en diegenen die gedurende lange tijd in staat van beschuldiging waren (gesteld) heeft vrijgesproken van de aanklachten (tegen hen);
προσέταξε δὲ καὶ τὰς προσόδους τῶν ἱερῶν καὶ τὰς διδομένας εἰς αὐτὰ κατ᾽ ἐνιαυτὸν συντάξεις σιτι- 15 κάς τε καὶ ἀργυρικάς, ὁμοίως δὲ καὶ τὰς καθηκούσας ἀπομοίρας τοῖς θεοῖς ἀπό τε τῆς ἀμπελίτιδος γῆς καὶ τῶν παραδείσων καὶ τῶν ἄλλων τῶν ὑπαρξάντων τοῖς θεοῖς ἐπὶ τοῦ πατρὸς αὐτοῦ μένειν ἐπὶ χώρας προσέταξεν δὲ καὶ περὶ τῶν ἱερέων ὅπως μηθὲν πλεῖον διδῶσιν εἰς τὸ τελεστικὸν οὗ ἐτάσσοντο ἕως τοῦ πρώτου ἔτους ἐπὶ τοῦ πατρὸς αὐτοῦ· ἀπέλυσεν δὲ καὶ τοὺς ἐκ τῶν ἱερῶν ἐθνῶν τοῦ κατ᾽ ἐνιαυτὸν εἰς Ἀλεξάνδρειαν κατάπλου·	Hij bepaalde (lett "en aangezien hij…") dat de inkomsten voor de tempels en de jaarlijkse belastingen (lett "de belastingen gedurende het jaar…") die aan hen worden gegeven onder de vorm van graan en geld, evenals ook het gedeelte dat aan de goden wordt afgedragen van de wijngaard(en) en de dierenparken en alle bezittingen die de goden voorhanden waren ten tijde van zijn vader op het platteland (= dat deel van zijn rijk, dus niet de steden) moesten (behouden) blijven, en hij verordende i.v.m. de priesters niks méér moesten geven voor hun inwijding dan wat hun was opgelegd tot (in → gen BWB tijd) het eerste jaar onder (de regering van) zijn vader. En hij heeft de leden van de heilige colleges ontheven van hun jaarlijkse afvaart naar Alexandrië.
προσέταξεν δὲ καὶ τὴν σύλληψιν τῶν εἰς τὴν ναυτείαν μὴ ποιεῖσθαι, τῶν τ᾽ εἰς τὸ βασιλικὸν συντελουμένων ἐν τοῖς ἱεροῖς βυσσίνων ὀθονίων ἀπέλυσεν τὰ δύο μέρη, τά τε ἐγλελειμμένα	Hij (lett "en aangezien hij") bepaalde dat ook de verplichte inlijving in de marine werd afgeschaft (lett "niet gedaan werd"), en hij schold 2/3 (lett "twee delen") kwijt van de belastingen van linnen kleden die in de tempels aan de kroon werden betaald kwijt, en alle dingen die in

πάντα ἐν τοῖς πρότερον χρόνοις ἀποκατέστησεν εἰς τὴν καθήκουσαν τάξιν, φροντίζων ὅπως τὰ εἰθισμένα συντελῆται τοῖ<ς> θεοῖς κατὰ τὸ προσῆκον·	vroeger tijden werden verwaarloosd (lett “ongebruikt werden gelaten”), heeft hij opnieuw in z’n normale toestand (/orde) gebracht, erop bedacht dat de traditionele plichten (lett “de gewoonlijke zaken”) op passende wijze (lett “volgens het passende”) aan de goden werden betaald.
ὁμοίως δὲ καὶ τὸ δίκαιον πάσιν ἀπένειμεν, καθάπερ Ἑρμῆς ὁ μέγας καὶ μέγας· πρ<ο>σέταξεν δὲ καὶ τοὺς καταπορευομένους ἔκ τε τῶν μαχίμων καὶ τῶν ἄλλων τῶν ἀλλότρια 20 φρονησάντων ἐν τοῖς κατὰ τὴν ταραχὴν καιροῖς κατελθόντας μένειν ἐπὶ τῶν ἰδίων κτήσεων·	(lett “en aangezien hij evenzo”) Evenzo gaf hij iedereen waar ze recht op hebben (lett “het rechtvaardige”), zoals de grote Thot (is hij) ook groot; en hij heeft verordend dat de deserteurs uit het leger en diegenen die ten tijde van de onrust ter juister tijd verzaakten aan degenen die er subversieve meningen op nahielden hun eigen bezittingen mochten houden (lett “op hun eigen bezit bleven”)
προενοήθη δὲ καὶ ὅπως ἐξαποσταλῶσιν δυνάμεις ἱππικαί τε καὶ πεζικαὶ καὶ νῆες ἐπὶ τοὺς ἐπελθόντας ἐπὶ τὴν Αἴγυπτον κατά τε τὴν θάλασσαν καὶ τὴν ἤπειρον, ὑπομείνας δαπάνας ἀργυρικάς τε καὶ σιτικὰς μεγάλας, ὅπως τά θ’ ἱερὰ καὶ οἱ ἐν αὐτῆι πάντ[ε]ς ἐν ἀσφαλείαι ὦσιν·	Hij zorgde er ook voor dat ook voor dat de militaire strijdkrachten te paard en te voet, alsook de schepen afgestuurd werden op degenen die Egypte zowel te land als er te zee aanvielen (lett “uitgezonden werden tegen zij die tegen Egypte optrokken over zee en over het kustland” + εξαποσταλωσιν = pass conj aor van εξαποστελλειν !), nadat hij grote uitgaven onder de vorm van geld en koren had toegelaten (lett “geduld, uitgehouden”) om zowel de tempels als allen die ertoe behoren in veiligheid zouden zijn.
παραγινόμε- νος δὲ καὶ εἰς Λύκων πόλιν τὴν ἐν τῶι Βουσιρίτηι, ἣ ἦν κατειλημμένη καὶ ὠχυρωμένη πρὸς πολιορκίαν ὅπλων τε παραθέσει δαψιλεστέραι καὶ τῆι ἄλληι χορη<γί>αι	“Terwijl hij ook in de stad Lykopolis in het district Bousiris was, die bezet was en versterkt was tegen een belegering met een behoorlijk omvangrijk wapendepot (lett “met een … talrijke bewaring van wapens” → οπλων bvb bij παραθεσει !) en alle ander financiële middelen, - nadat / toen (Losse genitief met (ὡς !!) de vijandschap al sinds lange

πάσηι, ὡς ἂν ἐκ πολλοῦ χ<ρ>όνου συνεστηκυίας τῆς ἀλλοτριότητος τοῖς ἐπισυναχθεῖσιν εἰς αὐτὴν ἀσεβέσιν, οἳ ἦσαν εἴς τε τὰ ἱερὰ καὶ τοὺς ἐν Αἰγύπτωι κατοικοῦντας πολλὰ κακὰ συντετελεσμένοι, καὶ ἀν- τικαθίσας χώμασίν τε καὶ τάφροις καὶ τείχεσιν αὐτὴν ἀξιολόγοις περιέλαβεν, τοῦ τε Νείλου τὴν ἀνάβασιν μεγάλην ποιησαμένου ἐν τῶι ὀγδόωι ἔτει καὶ εἰθισμένου κατακλύζειν τὰ 25 πεδία κατέσχεν ἐκ πολλῶν τόπων ὀχυρώσας τὰ στόματα τῶν ποταμῶν, χορηγήσας εἰς αὐτὰ χρημάτων πλῆθος οὐκ ὀλίγον καὶ καταστήσας ἱππεῖς τε καὶ πεζοὺς πρὸς τῆι φυλακῆι αὐτῶν, ἐν ὀλίγωι χρόνωι τήν τε πόλιν κατὰ κράτος εἷλεν καὶ τοὺς ἐν αὐτῆι ἀσεβεῖς πάντας διέφθειρεν, καθάπερ [Ἕρμ]ῆς καὶ Ὧρος ὁ τῆς Ἴσιος καὶ Ὀσίριος υἱὸς ἐχειρώσαντο τοὺς ἐν τοῖς αὐτοῖς τόποις ἀποστάντας πρότερον. τοὺς <δὲ> ἀφηγησαμένους τῶν ἀποστάντων ἐπὶ τοῦ ἑαυτοῦ πατρὸς καὶ τὴν χώραν ἐ[νοχλήσ]αντας καὶ τὰ ἱερὰ ἀδικήσαντας παραγενόμενος εἰς Μέμφιν, ἐπαμύνων	tijd ontbrand (/ingesteld) was bij (lett “aan”) de goddelozen die zich rondom (lett “bij”) haar hebben verzameld (ἐπισυναχθεῖσιν = part perf van ἐπισυνάγω !), (de goddelozen) die zowel ten aanzien van de tempels als ten aanzien van de inwoners van (lett “in Egypte”) samen veel kwaad hebben berokkend, heeft hij zich tegenover haar opgesteld (lett “neergezet” en part aor) en haar (αὐτήν = de stad, πολις) met versterkte wallen, grachten en muren die te vermelden waard zijn omsingeld, hield hij - nadat (L.G.!) de Nijl in het achtste jaar (van zijn regering) erg overstroomd was (lett “een grote overstroming maakte”) en gewoonlijk de vlaktes overstroomde (lett “gewoon was de vlakten te overstromen”) – versterkte hij de mondingen van de stromen en hield ze op (lett “vanuit”) vele locaties tegen, nadat hij met die bedoeling/met het oog daarop het volk in niet geringe mate van schadeloosstellingen (lett (geld)middelen) had voorzien, en ruiters en voetvolk had aangesteld te hunner bescherming, en in weinig tijd bracht hij de stad onder zijn heerschappij en hij vernietigde alle goddelozen daarin, zoals Thot en Horus, de zoon van Isis en Osiris zich wreekten op degenen die vroeger op dezelfde plaatsen in opstand waren gekomen. Om z’n vader en z’n koningschap te helpen (= wreken; N.B. ἐπαμύνων = part futurum !) (lett “en aangezien hij…” → BZ gaat voort) strafte hij – toen hij in Memphis was – alle leiders der opstandelingen ten tijde van zijn vader(s koningschap) en degenen die het platteland

τῶι πατρὶ καὶ τῆι ἑαυτοῦ βασιλείαι, πάντας ἐκόλασεν καθηκόντως καθ’ ὃν καιρὸν παρεγενήθη πρὸς τὸ συντελεσθῆ[ναι αὐτῶι τὰ] προσήκοντα νόμιμα τῆι παραλήψει τῆς βασιλείας.	terroriseerden en de tempels schade berokkenden op gepaste wijze toen het ogenblik kwam waarop hij de vigerende formaliteiten diende te vervullen toen hij het koningschap overnam (lett “op/gedurende het tijdstip dat gekomen was met het oog op de het door hem te vervullen passende gewoontes bij het overnemen van het koningschap”)
ἀφῆκεν δὲ καὶ τὰ ἐ[ν] τοῖς ἱεροῖς ὀφειλόμενα εἰς τὸ βασιλικὸν ἕως τοῦ ὀγδόου ἔτους, ὄντα εἰς σίτου τε καὶ ἀργυρίου πλῆθος οὐκ ὀλίγον· ὡσαύ[τως δὲ] καὶ τὰς τιμὰς τῶν μὴ συντετελεσμένων εἰς τὸ βασιλικὸν βυσσίνων ὀθ[ονί]- 30 ων καὶ τῶν συντετελεσμένων τὰ πρὸς τὸν δειγματισμὸν διάφορα ἕως τῶν αὐτῶν χρόνων·	Hij (lett “en aangezien hij…”) schold ook de schulden van de clerus aan de kroon kwijt (lett “de dienen die voor/door de tempels verschuldigd werden”) tot aan het achtste jaar (van zijn regering!), (schulden) die bestonden uit (lett “die waren”, “zijnde”) ongeveer een grote hoeveelheid voedsel en graan (lett “zijnde ongeveer een niet gering aantal van…”); op dezelfde wijze / evenzo (schold hij) ook de schadevergoeding (kwijt) van linnen klederen die (nog) niet vereffend waren ten aanzien van de kroon, en van het vereffende (schold hij ook) de rente ter verificatie (lett “met het oog op”) (kwijt) tot in dezelfde periode.
ἀπέλυσεν δὲ τὰ ἱερὰ καὶ τῆς ἀ[ποτεταγ]μένης ἀρτάβης τ<ῆ>ι ἀρούραι τῆς ἱερᾶς γῆς, καὶ τῆς ἀμπελίτιδος ὁμοίω[ς] τὸ κεράμιον τῆι ἀρούραι, τῶι τε Ἄπει καὶ τῶι Μνεύει πολλὰ ἐδωρήσατο καὶ τοῖς ἄλλοις ἱεροῖς ζώιοις τοῖς ἐν Αἰγύπτωι, πολὺ κρεῖσσον τῶν πρὸ αὐτοῦ βασιλείων φροντίζων ὑπὲρ τῶν ἀνηκόν[των εἰς] αὐτὰ διὰ παντός, τά τ’ εἰς τὰς ταφὰς αὐτῶν καθήκοντα διδοὺς δαψιλῶς καὶ ἐνδόξως καὶ τὰ τελισκόμενα εἰς τὰ ἴδια ἱερὰ μετὰ θυσιῶν καὶ πανηγύρεων καὶ τῶν ἄλλων τῶν νομι[ζομένων],	Hij (lett “en aangezien hij…”) schold de tempels (lett “hij bevrijdde … van”) de (belasting in) artabe, op (lett “aan”) het bebouwbaar land van de heilige grond opgelegd, en evenzeer schold hij (de belasting van) een vat (opgelegd aan) het bebouwbaar land van de wijngaard kwijt (in de eerste zin = αρταβης BWB, HV en in de tweede zin is κεραμιον LV! → zeugma απελυσεν !), en hij deed vele schenkingen aan Apis, Mnevis en de andere heilige dieren in Egypte, omdat hij zich veel meer (lett “beter”) dan de koningen vóór hem bekommerde om (lett “voor”) de dingen die hen algemeen toebehoren, door hen overvloedig en eervol de giften te geven die behoren tot hun begrafenis; en de zaken die

τά τε τίμια τῶν ἱερῶν καὶ τῆς Αἰγύπτου διατετήρηκεν ἐπὶ χώρας ἀκολούθως τοῖς νόμοις, καὶ τὸ Ἀπιεῖον ἔργοις πολυτελέσιν κατεσκεύασεν χορηγήσας εἰς αὐτὸ χρυσίο<υ> τε κ[αὶ ἀργυρί]-ου καὶ λίθων πολυτελῶν πλῆθος οὐκ ὀλίγον, καὶ ἱερὰ καὶ ναοὺς καὶ βωμοὺς ἱδρύσατο τά τε προσδεόμενα ἐπισκευῆς προσδιωρθώσατο ἔχων θεοῦ εὐεργετικοῦ ἐν τοῖς ἀνήκου[σιν εἰς τὸ] 35 θεῖον διάνοιαν·	regelmatig aan hun persoonlijke heiligdommen werden betaald (τελισκω = frequentatief τελεω) met offers en feesten en al de andere gebruiken, alsook de waardigheden van de tempels en van Egypte heeft hij (tot op vandaag → perfectum) op het platteland gehandhaafd, overeenkomstig/volgens de wetten; en het heiligdom van Apis heeft hij met kostbare werken verfraaid, na daaraan geen geringe hoeveelheid goud, zilver en stenen met veel waarde ter beschikken te hebben gegeven, en hij heeft tempels, kapellen en altaren opgericht, en hij heeft bovendien de dingen die daarbij nodig waren voor hun herstel in orde gebracht met (lett "hebbend") de gezindheid van een weldoende god in zaken die tot de sfeer van het goddelijke behoren *(→ dus hij kent er alles van !)*
προσπυνθανόμενός τε τὰ τῶν ἱ[ε]ρῶν τιμιώτατα ἀνανεοῦτο ἐπὶ τῆς ἑαυτοῦ βασιλείας ὡς καθήκει· ἀνθ' ὧν δεδώκασιν αὐτῶι οἱ θεοὶ ὑγίειαν, νίκην, κράτος καὶ τἆλλ' ἀγαθ[ὰ πάντα], τῆς βασιλείας διαμενούσης αὐτῶι καὶ τοῖς τέκνοις εἰς τὸν ἅπαντα χρόνον·	"Hij (lett "aangezien hij") stelde bovendien een onderzoek in en herstelde ten tijde van zijn koningschap de meest eerbiedwaardige waardigheden van de tempels, zoals het betaamt. In ruil daarvoor hebben de goden hem (tot nu toe → perfectum !) een (goede) gezondheid gegeven, de overwinning, macht en alle andere voorspoed, terwijl zijn koningschap en dat van zijn kinderen voor eeuwig zal standhouden (lett "terwijl het koningschap zal standhouden aan hem en aan zijn kinderen gedurende al de tijd"; N.B. διαμενουσης = part futurum, dus natijdig vertalen !)
ἀγαθῆι τύχηι, ἔδοξεν τοῖς ἱερεύσι τῶν κατὰ τὴν χώραν ἱερῶν πάντων, τὰ ὑπάρχοντα τ[ίμια πάντα] τῶι αἰωνοβίωι βασιλεῖ Πτολεμαίωι, ἠγαπημένωι ὑπὸ τοῦ Φθᾶ, θεῶι Ἐπιφανεῖ Εὐχαρίστωι, ὁμοίως δὲ καὶ τὰ τῶν γονέων αὐτοῦ	"Bij dit goede geluk (herneemt nl al het vooraande: "aangezien hij…" enz. enz.) hebben de priesters van de tempels, verspreid over het platteland, besloten om alle bestaande eerbewijzen voor de eeuwiglevende koning Ptolemaios (lett "die voorhanden zijn voor…"), geliefd door Ptah,

θεῶν Φιλ<ο>πατόρων καὶ τὰ τῶν προγόνων θεῶν Εὐεργ[ετῶν καὶ τὰ] τῶν θεῶν Ἀδελφῶν καὶ τὰ τῶν θεῶν Σωτήρων ἐπαύξειν μεγάλως· στῆσαι δὲ τοῦ αἰωνοβίου βασιλέως Πτο<λε>μαίου θεοῦ Ἐπιφανοῦς Εὐχαρίστου εἰκόνα ἐν ἑκάστωι ἱερῶι ἐν τῶι ἐπιφα[νεστάτωι τόπωι], ἣ προσονομασθήσεται Πτολεμαίου τοῦ ἐπαμύναντος τῆι Αἰγύπτωι, ἧι παρεστήξεται ὁ κυριώτατος θεὸς τοῦ ἱεροῦ, διδοὺς αὐτῶι ὅπλον νικητικόν, ἃ ἔσται κατεσκευασμέν[α τὸν τῶν Αἰγυπτίων] 40 τρόπον, καὶ τοὺς ἱερεῖς θεραπεύειν τὰς εἰκόνας τρὶς τῆς ἡμέρας καὶ παρατιθέναι αὐτοῖς ἱερὸν κόσμον καὶ τἆλλα τὰ νομιζόμενα συντελεῖν καθὰ καὶ τοῖς ἄλλοις θεοῖς ἐν [ταῖς κατὰ τὴν χώραν πα]- νηγύρεσιν. ἱδρύσασθαι δὲ βασιλεῖ Πτολεμαίωι θεῶι Ἐπιφανεῖ Εὐχαρίστωι, τῶι ἐγ βασιλέως Πτολεμαίου καὶ βασιλίσσης Ἀρσινόης θεῶν Φιλοπατόρων, ξόανον τε καὶ ναὸν χρ[υσοῦν ἐν ἑκάστωι τῶν]	de doorluchtige en dankbare godheid, en ook evenzo die van zijn ouders, de Vaderlievende goden en die van zijn kinderen, de Weldoende goden en die van de Zustergoden en de Reddende goden in grote mate te vermeerderen; Ze hebben besloten om een standbeeld van de Eeuwiglevende koning Ptolemaios, de doorluchtige en dankbare godheid in elke tempel op de meest zichtbare plaats, dat (het standbeeld van) “Ptolemaios, de Wreker van Egypte” genoemd zal worden, waar de hoogste beschermgod van de tempel naast zal staan, terwijl hij hem het wapen van de overwinning geeft, de dingen die zullen toegerust/gefabriceerd zijn op de wijze van de Egyptenaren, en ze hebben beslist dat ook de priesters de standbeelden 3x daags (zullen) verzorgen en hen de heilige opsmuk (zullen) verschaffen en al de andere gebruikelijke rituelen zullen volbrengen volgens degene die ook voor de andere goden tijdens de plechtigheden die het (platte)land rijk is, bestaan (lett “over/doorheen/verspreid over…”+ ellips van het ww ειναι !). (Ze hebben besloten) om voor koning Ptolemaios, de doorluchtige en dankbare godheid, de zoon van (lett “uit”) koning Ptolemaios en koningin Arsinoë, de vaderlievende goden, in elke tempel (lett “in elk van de tempels”) een godenbeeld en een gouden schrijn op te richten en het wijden in de heiligdommen te midden van de andere

ἱε<ρ>ῶν καὶ καθιδρῦσαι ἐν τοῖς ἀδύτοις μετὰ τῶν ἄλλων ναῶν, καὶ ἐν ταῖς μεγάλαις πανηγύρεσιν, ἐν αἷς ἐξοδεῖαι τῶν ναῶν γίνονται, καὶ τὸν τοῦ θεοῦ Ἐπιφανοῦς Εὐ[χαρίστου ναὸν συνε]-ξοδεύειν. ὅπως δ’ εὔσημος ἦι νῦν τε καὶ εἰς τὸν ἔπειτα χρόνον, ἐπικεῖσθαι τῶι ναῶι τὰς τοῦ βασιλέως χρυσᾶς βασιλείας δέκα αἷς προσκείσεται ἀσπίς, [καθάπερ καὶ ἐπὶ πασῶν] τῶν ἀσπιδοειδῶν βασιλειῶν τῶν ἐπὶ τῶν ἄλλων ναῶν· ἔσται δ’ αὐτῶν ἐν τῶι μέσωι ἡ καλουμένη βασιλεία Ψχέντ, ἣν περιθέμενος εἰσῆλθεν εἰς τὸ ἐν Μέμφ[ει ἱερόν, ὅπως ἐν αὐτῶι συν]- 45 τελεσθῆι τὰ νομιζόμενα τῆι παραλήψει τῆς βασιλείας. ἐπιθεῖναι δὲ καὶ ἐπὶ τοῦ περὶ τὰς βασιλείας τετραγώνου κατὰ τὸ προειρημένον βασίλειον φυλακτήρια χρυ[σᾶ δύο, οἷς ἐγγραφήσεται ὅ]τι ἐστὶν τοῦ βασιλέως τοῦ ἐπιφανῆ ποιήσαντος τήν τε ἄνω χώραν καὶ τὴν κάτω·	schrijnen, en (ze hebben besloten om) tijdens de religieuze plechtigheden, waarin de processies van de schrijnen plaatsvinden (εξοδιον of εξοδεια = lett “uittocht, optocht processie”), ook dat van de Doorluchtige Dankbare godheid in processie mee te dragen. Opdat hij nù en in (lett “naar… toe”) later tijd goed te herkennen zou zijn, hebben ze beslist om op het schrijn tien gouden koninklijke diademen van de koning te plaatsen (lett “dat er op… geplaatst moesten worden”), waaraan een ureaus bevestigd zal worden, zoals ook bij/op al de koninklijke ureausbeelden bij de andere schrijnen. Daarop (= op die schrijnen) zal zich in het midden de koninklijke Dubbele Kroon (Pschent) bevinden, waarmee hij (= koning Ptolemaios V!) – nadat hij hem heeft opgezet – naar de tempel in Memphis is gekomen (lett “die hij opgezet hebbend, … is gekomen”), om daarin (= in de tempel) de rituelen voor de overname van het koningschap te vervullen. (Ze hebben besloten) om bovenop het vierkantig oppervlak rondom de diademen (cf. betekenis βασιλεια vorige paragraaf, context !!) twee gouden gebedsriemen *(die)* langs de eerdergenoemde diadeem/kroon *(hangen)* te bevestigen, waarop geschreven zal staan dat (οτι, voorwerpszin!) het (het schrijn) van de koning is, die Boven- en Beneden-Egypte beroemd gemaakt heeft. En aangezien het de 30ste dag van Mesore is (ellips vorm ειναι), waarin de verjaardag van de koning wordt gevierd (lett “gevoerd”), en

καὶ ἐπεὶ τὴν τρια<κ>άδα τοῦ {τοῦ} Μεσορῆ, ἐν ᾗι τὰ γενέθλια τοῦ βασιλέως ἄγεται, ὁμοίως δὲ καὶ [τὴν ἑπτακαιδεκάτην τοῦ Φαωφὶ] ἔν ᾗι παρέλαβεν τὴν βασιλείαν παρ<ὰ> τοῦ πατρός, ἐπωνύμους νενομίκασιν ἐν τοῖς ἱεροῖς, αἳ δὴ πολλῶν ἀγαθῶν ἀρχηγοὶ <π>ᾶσίν εἰσιν, ἄγειν τὰς ἡμέρας ταύτας ἑορ[τὰς καὶ πανηγύρεις ἐν τοῖς κατὰ τὴν Αἴ]- γυπτον ἱεροῖς κατὰ μῆνα, καὶ συντελεῖν ἐν αὐτοῖς θυσίας καὶ σπονδὰς καὶ τἆλλα τὰ νομιζόμενα, καθὰ καὶ ἐν ταῖς ἄλλαις πανηγύρεσιν τάς <u>τε</u> γινομένας προθέ[σεις τοῖς — — — — πα]- ρεχομένοις ἐν τοῖς ἱεροῖς.	aangezien het evenzeer ook de 17de dag van Phaophis is, waarin hij het koningschap van zijn vader overnam, hebben ze hen (= die dagen, verwijzend voornaamwoord verzwegen, ellips) naar hem genoemd (lett "hebben ze die beschouwd als zijn naam waardig"), (die dagen), die de dus de oorzaak/bron zijn van veel voorspoed, (ze hebben besloten) om gedurende die dagen elke maand feesten en festivals te houden in de tempels over heel Egypte (lett "langs, verspreid over…"), en op die dagen offers en plengoffers en de andere rituelen te volbrengen, zoals ook op de andere festivals, <u>en</u> (vgw τε, verbindt met de vorige zin) (ze hebben beslist) dat de gebrachte offers (bestemd) zijn (ellips inf ειναι in inf-zin) voor degene die ze verschaffen (= brengen) in de tempels.
ἄγειν δὲ ἑορτὴν καὶ πανήγυριν τῶι αἰωνοβίωι καὶ ἠγαπημένωι ὑπὸ τοῦ Φθᾶ βασιλεῖ Πτολεμαίωι θεῶι Ἐπιφανεῖ Εὐχαρίστωι κατ' ἐνι[αυτὸν ἐν τοῖς ἱεροῖς τοῖς κατὰ τὴν] 50 χώραν ἀπὸ τῆς νουμηνίας τοῦ Θῶϋθ ἐφ' ἡμέρας πέντε, ἐν αἷς καὶ στεφανηφορήσουσιν συντελοῦντες θυσίας καὶ σπονδὰς καὶ τἆλλα τὰ καθήκοντα.	(Ze hebben besloten om) jaarlijks een feest en een festival te vieren voor de eeuwig levende en door Ptah beminde koning Ptolemaios, de Doorluchtige en Dankbare godheid en de tempels verspreid over het platteland vanaf het begin van de maand (van) Thot gedurende 5 dagen, waarin ze (= de priesters, de bij te denken 'ze' van 'ze hebben besloten') kransen zullen dragen tijdens het volbrengen van de offers, plengoffers en de andere verplichte rituelen.
προσαγορε[ύεσθαι δὲ τοὺς ἱερεῖς τῶν ἄλλων θεῶν] καὶ τοῦ θεοῦ Ἐπιφανοῦς Εὐχαρίστου ἱερεῖς πρὸς τοῖς ἄλλοις ὀνόμασιν τῶν θεῶν ὧν ἱερατεύουσιν, καὶ καταχωρίσαι εἰς	(Ze hebben beslist) om de priesters van de andere goden ook de priesters van de Doorluchtige Dankbare godheid te noemen bovenop/naast (lett "bij": προς + datief) de andere namen van de goden, waarvan zij het priesterschap bekleden, en (ze hebben beslist) het priesterschap van hem in al hun litanieën te plaatsen en te

πάντας τοὺς χρηματισμοὺς καὶ εἰς τοὺς δ[ακτυλίους οὓς φοροῦσι προσεγκολάπτεσθαι τὴν] ἱερατείαν αὐτοῦ. ἐξεῖναι δὲ καὶ τοῖς ἄλλοις ἰδιώταις ἄγειν τὴν ἑορτὴν καὶ τὸν προειρημένον ναὸν ἱδρύεσθαι καὶ ἔχειν παρ’ αὐτοῖς συντελο[ῦντας] [τὰ νόμιμα ἐν ἑορταῖς ταῖς τε κατὰ μῆνα καὶ τ]-[αῖ]ς κατ’ ἐνιαυτόν, ὅπως γνώριμον ᾖι διότι οἱ ἐν Αἰγύπτωι αὔξουσι καὶ τιμῶσι τὸν θεὸν Ἐπιφανῆ Εὐχάριστον βασιλέα, καθάπερ νόμιμόν ἐστι[ν αὐτοῖς. τὸ δὲ ψήφισμα τοῦτο ἀναγράψαι εἰς στή]- [λας σ]τερεοῦ λίθου τοῖς τε ἱεροῖς καὶ ἐγχωρίοις καὶ Ἑλληνικοῖς γράμμασιν, καὶ στῆσαι ἐν ἑκάστωι τῶν τε πρώτων καὶ δευτέρων [καὶ τρίτων ἱερῶν πρὸς τῆι τοῦ αἰωνοβίου βασιλέως εἰκόνι].	graveren in de zegelringen die ze dragen. (Ze hebben beslist dat) ook de andere burgers feest mogen vieren en het eerder genoemde schrijn mogen oprichten en bij zichzelf mensen (= priesters) mogen hebben die op de feesten, zowel de maandelijkse als de jaarlijkse, de gebruikelijke riten volbrengen, opdat het bekend zou zijn dat de Egyptenaren de Doorluchtige, Dankbare god-koning huldigen en eren volgens hetgeen bij hen gebruikelijk is. (Ze hebben beslist) dit decreet op te tekenen op een stèle (lett “rechtopstaande steen”) van harde steen voor de tempels, zowel en inheemse als Griekse lettertekens, en het op te stellen in elk van de eerste, en tweede en derde(rangs) heiligdommen naast/bij het beeld van de eeuwiglevende koning.”